δῆμος Ἀθηναίων ἐξετέλεσ⟨σ⟩α μόνος.

**10** Plut. *de Herod. malign.* 42 p. 872d ἀλλὰ Κορινθίους γε καὶ τάξιν ἣν ἐμάχοντο τοῖς βαρβάροις καὶ τέλος ἡλίκον ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ Πλαταιᾶσιν ἀγῶνος ἔξεστι Σιμωνίδου πυθέσθαι γράφοντος ἐν τούτοις·

μέσσοις δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμωι,
οἵ τε πόλιν Γλαύκοιο Κορίνθιον ἄστυ νέμονται·

**11** οἳ
κάλλιστον μάρτυν ἔθεντο πόνων,
χρύσου τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων.

ταῦτα γὰρ οὐ χορὸν ἐν Κορίνθῳ διδάσκων, οὐδ' ᾆσμα ποιῶν εἰς τὴν πόλιν, ἄλλως δὲ τὰς πράξεις ἐκείνας ἐλεγεῖα γράφων ἱστόρηκεν.

**12** Apoll. Soph. p. 117. 25 Bekker; *Et. Gen./Gud./Magn.* et Zonaras s.v. ξεινοδόκον

ξεινοδόκων †δ' ἄριστος ὁ χρυσὸς ἐν αἰθέρι λάμπων,

ἀντὶ τοῦ μαρτύρων.

**13** Stob. 1. 8. 22 Σιμωνίδου ἐπιγραμμάτων·

ὅ τοι Χρόνος ὀξὺς ὀδόντας,